Τὸ κείμενο τοῦ σταχώματος τοῦ κώδικα 9 τῆς μονῆς Κύκκου.

... (Ἔ)δωκεν νόμον τῷ Ἰσραήλ, καὶ λέγει ὁ Δαυὶδ ὁ ἀπαγγέλλων τὸ λόγιον αὐτοῦ τῷ Ἰακώβ, δικαιώματα καὶ κρίματα αὐτοῦ τῷ Ἰσραὴλ οὐκ ἐποίησεν οὕτως παντὶ ἔθνει, καὶ τὰ κρίματα αὐτοῦ οὐκ ἐδήλωσεν αὐτοῖς. ἐπεὶ οὖν ἐκείνην ἔθνη ἀπεκάλυψεν, ἐνταῦθα δὲ ζυγοστατήσας τὸν τῆς ἀληθείας λόγον πᾶσιν (αὐ)τὸν ἐξίσου ἐκέρασεν.

Πρόσεχε παρακαλῶ, δικαιοσύνη ἐστὶν τὸ πάντας ὁμοίως σῶσαι καὶ μὴ εἶναι διαφορὰν δούλου καὶ ἐλευθέρου, βαρβάρου ἢ ἕ(λληνος, γυναι)κὸς ἢ ἀνδρός, (φησὶ) Παῦλος ἐν Χριστῷ Ἰησοῦ. (οὐκ ἔνι βάρβαρ)ος, οὐ σκύθης, (οὐκ ἄρσεν) οὐ θῆλυ, οὐ (δοῦ)λος, (οὐκ ἐλεύθερος). ὁρᾷς ὁμοτιμ(ίαν. ἔστ)ι γὰρ ἡ φύσις ὁμότιμος, εἰ καὶ ταῖς γνώμαις ἐμερίσθημεν, συνάγει τὴν φύσιν εἰς τὸ ἀρχαῖον κάλλος. ὅτε γὰρ ἐπλάσθη ἀδὰμ οὐκ ἦν τις ἀλλογενής, οὐ σκύθης, οὐ βάρβαρος, οὐχ ἕλλην, οὐ δοῦλος, οὐκ ἐλεύθερος, οὐκ ἄρσεν, οὐ θῆλυ. ἐκ γὰρ τοῦ ἑνὸς τὰ δύο ἐπήγαγεν. δουλείαν οὐ φύσις ἐγέννησεν, ἀλλὰ προαίρεσις ἔτεμεν. γίνεται δὲ καὶ δουλεία ἠναγκασμένη /ἡ (γὰρ) συμφορὰ λιμοῦ ἢ αἰχμαλωσίας ἀνάγκη. col. B
ἔστιν δὲ καὶ ἑτέρα δουλεία αὐθαίρετος, ἡ δι᾿ ἐπιγαμίαν θεραπαινίδων τὴν ἑαυτῆς ἐλευθερίαν πιπράσκουσα καὶ ὑπὸ ζυγὸν δουλείας ἐρχομένη. ἡ δὲ πρώτη δουλεία ἀπὸ κακῆς συνέστη γνώμης.

Καὶ πόθεν εὑρίσκεται ἡ ῥίζα τῆς δουλείας ἄκουε. μετὰ τὸν κατ(ακλυ)σμὸν ὁ Νῶε πιὼν οἶνον καὶ μὴ κεράσας αὐτὸν τῇ πρεπούσῃ κράσει δι᾿ ἀπειρίαν ἐμεθύσθη. οὐ γνώμης νόσον ἐνδειξάμενος, ἀλλ᾿ ἀγνοίας. καὶ ἐμεθύσθη καὶ μεθυσθεὶς ἐγυμνώθη. καὶ εἰσελθὼν εἷς τῶν υἱῶν αὐτοῦ εἶδεν τὴν τοῦ πατρὸς γύμνωσιν καὶ ἐγέλασεν. τί οὖν (πατρός;) εων(;) λέγει ἐπικατάρατος Χαναάν, παῖς οἰκέτης ἔσται τοῖς ἀδελφοῖς αὐτοῦ.

ὁρᾷς πῶς τὴν δουλείαν ἐγέννησε ἡ ἁμαρτία. διὰ τοῦτο λέγει ὁ Σωτήρ, πᾶς ὁ ποιῶν τὴν ἁμαρτίαν δοῦλος ἐστὶν τῆς ἁμαρτίας. ἐπεὶ οὖν ἦλθεν ὁ ἐλευθερωτὴς τοῦ ἀνθρωπίνου γένους καὶ συνεχώρησεν τὴν ἁμαρτίαν, μᾶλλον δὲ ἦρεν, ἐκτεμὼν γὰρ τὴν ῥίζαν συνεξέτεμεν τοὺς καρπ(ούς) ...

1 ἀπαγγέλλων: ἀπαγγέλων cod.
4 ἔθνη: ἔθνει cod.

1–3 ὁ ἀπαγγέλλων ... αὐτοῖς: Ψαλμ. 147, 8–9.
6–13 μὴ εἶναι διαφορὰν δούλου ... οὐ θῆλυ: Πβ. Παύλου, Γαλ. 3, 28.
20–24 Γέν. IX, 21–22, 25: Πβ. Χρυσ. Ὁμ. XXIX, PG 53, στήλ. 265, 269.